Jocasta tells how Oedipus came to be born, and how Laius, in remorse for his disobedience to Apollo's command, handed the baby over to be exposed.

ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
ἔθετο. γαμεῖ δὲ Λάιός μ'· ἐπεὶ δ' ἄπαις
ἦν χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον ἐξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὁ δ' εἶπεν· "ὦ Θήβαισιν εὐίπποις ἄναξ
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος."
ὁ δ' ἡδονῇ 'νδοὺς ἔς τε βακχείαν πεσὼν
ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας πατὴρ
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

Euripides Phoenissae 10-25

1A 2 2015

χρόνιος, -η, -ον: for a long time, long-lasting
ἄρσην, ἀρσένος: male
ἄλοξ, ἄλοκος (f.): furrow
ἐνδίδωμι: (+dat.) yield to
ἀμπλάκημα: error
λειμῶν -ῶνος (m.): meadow
λέπας (n.): bare rock
βρέφος - εος (n.): baby